www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΑΝΝΟΥ ΤΟΥ ΚΑΛΥΒΙΤΟΥ

ΙΩΣΗΦ ΥΜΝΟΓΡΑΦΟΥ

ΑΓΙΟΝ ΟΡΟΣ

ΨΑΛΛΟΜΕΝΗ ΤΗ ΙΕ΄ ΙΑΝΟΥΑΡΙΟΥ



www.teologiliturgic.ro

## ΤΗ ΙΕ´ ΙΑΝΟΥΑΡΙΟΥ

Μνήμη τοῦ Ὁσίου καί Θεοφόρου Πατρός ἡμῶν Ἰωάννου τοῦ Καλυβίτου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προοιμιακόν,καί τό,Μακάριος ἀνήρ,Εἰς τό,Κύριε ἐκέκραξα,ἱστῶμεν Στίχους ς´καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ἦχος β´. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε ἐπινεύσει θεϊκῇ,κόσμου τήν τερπνότητα Πάτερ,χαίρων ἐξέφυγες,τότε προετίμησας,τῆς εὐρυχώρου ὁδοῦ,τήν στενήν καί ἐπώδυνον,καί λίαν τραχεῖαν·ὅθεν φροντιστήριον,ψυχῶν κατέλαβες,θεῖον ἐνδυσάμενος σχῆμα,τῇ ἀποφυγῇ καί γυμνώσει,πάντων τῶν παθῶν θεομακάριστε.

Ξένην ἐπενόησας ζωήν,ξένον ἐπιτήδευμα φίλτρῳ,Χριστοῦ νυττόμενος,οὗ τινος τήν ἄφατον,πτωχείαν ἔστερξας·καί πυλῶσιν ἀνέστιος,τῶν σῶν γεννητόρων,Πάτερ ἐκαρτέρησας,στένων θλιβόμενος·ὅθεν χαρισμάτων ἐπλήσθης,καί τόν ἀναφαίρετον πλοῦτον, τόν ἐν οὐρανοῖς ἐκληρονόμησας.

Φέρων ἐν χερσί τό ἱερόν,Πάτερ Εὐαγγέλιον τούτου,πληρωτής γέγονας,γεννητόρων ὕπαρξιν,ἀπαρνησάμενος,Ἰωάννη καί δάκρυσι,καί στενοχωρίᾳ,ὅλον διανύσας σου,τόν βίον Ὅσιε·ὅθεν παρακλήσεως θείας,καί διηνεκοῦς εὐφροσύνης,νῦν ἐπαπολαύεις θεοδόξαστε.

Ἕτερα γ´.

Ἦχος δ´. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἐκ παιδός Πάτερ Ὅσιε,τόν Θεόν ἐπεπόθησας,καί τήν ματαιότητα κόσμου ἅπασαν,ὡς νουνεχής ἀπεῤῥάπισας,καί ἦρξω τό στάδιον,τῆς μονήρους βιοτῆς,Ἰωάννη μακάριε· ὅθεν ἔτυχες,τῆς ἐφέσεως ὅλης ἧς ἐπόθεις,καί τῆς ἄνω κληρουχίας,διά πολλῆς τῆς ἀσκήσεως.

www.tezaurliturgic.ro

Οὐ γονέων εὐγένεια,οὐ πατρίδος ἐμφάνεια,οὐ σαρκός εὐπάθεια καί οὐ χαύνωσις,ὅλως ἰσχύσαι δεδύνηνται,ἀλλ'ἔφερες Ὅσιε,τά ἐπίπονα σαυτῷ,ἐν καλύβῃ στενούμενος,καί ὠθούμενος, ὑπ'αὐτῶν τῶν μισθίων οἰκετῶν σου,'Ιωάννη θεοφόρε,κλέος ὁσίων καί καύχημα.

Τήν ἀγάπην ἐδέσμευσας,ἥν ἐκτήσω μακάριε,πρός τούς σούς γεννήτορας καί μετέφερες,πρός τόν Θεόν ὅν ἠγάπησας,ἐκ βρέφους καί ἔσπευσας,ὑποστῆναι τά πολλά,τῆς ἀσκήσεως σκάμματα, καί τήν στέρησιν,τῶν γονέων πατρίδος συγγενῶν τε,καί ἁπάσης προσπαθείας,ὡς μιμητής τοῦ Δεσπότου σου.

Δόξα...Ἦχος δ΄.

Τήν ἐτήσιον μνήμην σήμερον,τοῦ θεοφόρου 'Ιωάννου,συνελθόντες ἐπαξίως εὐφημήσωμεν·οὗτος γάρ ἀξιέπαινος ἐραστής γενόμενος τῆς τῶν ἀζύγων βιοτῆς,τά πάντα ὡς μή ὄντα κατέλιπε, καί τά ἀεί διαμένοντα,ἑαυτῷ ἀπεθησαύρισεν·ὅθεν Εὐαγγέλιον κρατῶν καί μελετῶν,καί εὐαγγελικῶς τό ζῆν τελέσας,κλῆρον εἴληφε μετά 'Οσίων,καί Χριστῷ συμβασιλεύει τῷ Θεῷ,καί Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Καί νῦν...'Ο αὐτός. Θεοτοκίον.

'Ο διά σέ Θεοπάτωρ Προφήτης Δαβίδ, μελῳδικῶς περί σοῦ προανεφώνησε,τά μεγαλεῖά σοι ποιήσαντι·Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου.Σέ γάρ Μητέρα πρόξενον ζωῆς ἀνέδειξεν,ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεός,ἵνα τήν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα,φθαρεῖσαν τοῖς πάθεσι,καί τό πλανηθέν ὀρειάλωτον εὑρών πρόβατον,τοῖς ὤμοις ἀναλαβών,τῷ Πατρί προσαγάγῃ· καί τῷ ἰδίῳ θελήματι,ταῖς οὐρανίαις συνάψῃ Δυνάμεσι,καί σώσῃ Θεοτόκε τόν κόσμον Χριστός,ὁ ἔχων τό μέγα,καί πλούσιον ἔλεος.

www.tezaurliturgic.ro

Εἴσοδος. Φῶς ἱλαρόν..., τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ' 1)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ελογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. ε' 15)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον

www.tezaurliturgic.ro

αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν· καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

---

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. δ΄ 7)

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοί, ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

www.tezaurliturgic.ro


## Εἰς τήν Λιτήν.

Ἦχος α΄.

Τόν ἐν ὁσίοις Ὅσιον Θεοῦ,καί ἐν ἀρεταῖς μέγιστον εἰδήμονα,Ἰωάννην εὐφημήσωμεν· οὗτος γάρ ὁ ἀξιΰμνητος,ἔτι νεάζων τῷ σώματι,τῷ πνεύματι ἐπολιοῦτο,καί ἐπόθει τά κρείττονα· ὅθεν Εὐαγγέλιον κρατῶν καί μελετῶν,εὐαγγελικῶς ἀεί διεβιοῦτο,ὡς Θεοῦ ἐκ βρέφους γνήσιος ἐραστής,Ὅς δωρεῖται τῷ κόσμῳ τήν εἰρήνην,καί ἡμῖν,δι᾽αὐτοῦ δωρεῖται ἄφεσιν πταισμάτων,καί τό μέγα ἔλεος.

Ἦχος β΄.

Ἀρνησάμενος κόσμον,καί τά ἐν κόσμῳ Ὅσιε,καί Εὐαγγέλιον λαβών,εὐαγγελικῶς Χριστῷ ἠκολούθησας· καί ἐν καλύβῃ διαιτώμενος,ὡς ἐν Παραδείσῳ μυστικῶς,τῇ ἄκρᾳ σκληραγωγίᾳ τῆς σαρκός,τόν βροτοκτόνον δράκοντα ἀπέκτεινας· διό ἐν οὐρανοῖς αὐλιζόμενος,Ἰωάννη μακάριε,αἴτησαι ἡμῖν τό μέγα ἔλεος.

Ἦχος γ΄.

Τό τοῦ Χριστοῦ ὡς ἔχων Εὐαγγέλιον,εὐαγγελικῶς τόν βίον ἤρξω,Ἰωάννη μακάριε· τήν γάρ τῶν Ἀκοιμήτων ἱεράν Μονήν,ὅλῃ προθυμίᾳ σου καταλαβών,τόν ἀγγελομίμητον ἠσπάσθης βίον ἀγαλλόμενος· καί τό τρόπαιον κατά τοῦ παλαμναίου ἔστησας,ἔχων βοηθοῦντά σε τόν Ποιητήν καί Κύριον τῶν ἁπάντων, ὅν ἱκέτευε θεομακάριστε,σωθῆναι τάς ψυχάς ἡμῶν.

Ἦχος δ΄.

Νέος ὤν τῷ σώματι,ὁ πολύς τῇ χάριτι καί τῇ ἀσκήσει,Ἰωάννης ὁ θεομακάριστος,οὗτος ὡς νεάζων ἀληθῶς,νέαν εὗρε τρίβον τῆς ἀσκήσεως,ξένην τε καί ἀπαράμιλλον τοῖς ἀρχαίοις Ἀσκητῶν Πατράσι· οὗτος τόν Θεόν ὅλως ἀγαπήσας,τήν τῶν γεννητόρων σχέσιν,πάρεργον κατεῖχε καί ἀπέβλεπε,καί οὕτως χαίρων ἔλεγε· Δόξα Κύριε τῇ εὐσπλαγχνίᾳ σου.

www.tezaurliturgic.ro

Δόξα... Ἦχος πλ. α΄.

Ἰωάννη καλυβίτα μακάριε,χαῖρε καί εὐφραίνου · Θεῷ γάρ εὐηρέστησας· ὅθεν ὡς ἰσάγγελος τῷ βίῳ καί τῷ τρόπῳ, τοῖς Ἀγγέλοις συναυλίζῃ ἀενάως,καί σύν αὐτοῖς παρίστασαι τῷ Κτίστῃ,πρεσβεύων ὑπέρ ἡμῶν,τῶν τήν μνήμην σου τελούντων τήν σεβάσμιον.

Καί νῦν...Θεοτοκίον.

Μακαρίζομέν σε,Θεοτόκε Παρθένε,καί δοξάζομέν σε,οἱ πιστοί κατά χρέος,τήν πόλιν τήν ἄσειστον,τό τεῖχος τό ἄρρηκτον,τήν ἀρραγῆ προστασίαν,καί καταφυγήν τῶν ψυχῶν ἡμῶν.

Εἰς τόν Στίχον, Στιχηρά Προσόμοια.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Ἀγάπην Θεοῦ πεπλουτηκώς,ἔξω κόσμου γέγονας,καί τόν ζυγόν ἐπωμάδιον,λαβών οὐκ ἔστερξας,ὀπισθοδρομῆσαι,Ἰωάννη Ὅσιε,ἀλλ᾽ἔχων Εὐαγγέλιον ἅγιον,χερσίν οὐκ ἔλιπες, μελετᾶν τά τούτου λόγια,καί στηρίζων,ἑαυτόν τῷ Κτίστῃ σου.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Ἀκτῖσι τοῦ Πνεύματος σοφέ,φωτισθείς ὑπήνεγκας,τήν τῆς καλύβης στενότητα,καί τήν δυσχέρειαν,πᾶσαν τῶν μισθίων, οἰκετῶν σου Ὅσιε,ἀλλ᾽εὗρες ἀντί τούτων ἀπόλαυσιν,τήν διαμένουσαν,εἰς αἰῶνα τόν ἀπέραντον,μετ᾽Ἀγγέλων,νῦν συναγαλλόμενος.

Στίχ. Μακάριος ἀνήρ,ὁ φοβούμενος τόν Κύριον.

Ἀκλόνητος ὤφθης ἐν τρισίν,ἔτεσι τηκόμενος,πρό τοῦ πυλῶνος τοῦ οἴκου σου,ὅλως ἀγνώριστος,πένης καί ἐπαίτης,πᾶσι γινωσκόμενος,ἀλλ᾽ὤφθης ἐν τῷ τέλει ἰσάγγελος,ἀνακαλύψας σου, τῇ μητρί τά κεκρυμμένα σου,Ἰωάννη,καί τό ζῆν κατέλιπες.

Δόξα...Ἦχος πλ. β΄.

Ὅσιε Πάτερ,Ἰωάννη καλυβίτα μακάριε,τῆς φωνῆς τοῦ Εὐαγγελίου αὐτήκοος γεγονώς,ἔργῳ ταύτην ἐτήρησας,ὡς υἱός φωτός,καί πλήρης Πνεύματος Ἁγίου καί χάριτος· ὅθεν ἐκ δυνά-

μεως εἰς δύναμιν ἀναγαγών,τόν ζητοῦντά σε ὀλέσαι δελεάσματι,τόν αὐτόν σύ ὤλεσας καί κατῄσχυνας,τῇ ἀηττήτῳ τοῦ Χριστοῦ δυνάμει ἁγιώτατε,ᾧ μή παύσῃ πρεσβεύων ὑπέρ ἡμῶν,τῶν τήν μνήμην δοξαζόντων σου.

Καί νῦν...Θεοτοκίον.

Θεοτόκε,σύ εἶ ἡ ἄμπελος ἡ ἀληθινή,ἡ βλαστήσασα τόν καρπόν τῆς ζωῆς.Σέ ἱκετεύομεν,πρέσβευε,Δέσποινα,μετά τοῦ σοῦ 'Οσίου,καί πάντων τῶν 'Αγίων,ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

'Απολυτίκιον.

Ἦχος δ΄. Ταχύ προκατάλαβε.

Ἐκ βρέφους τόν Κύριον,ἐπιποθήσας θερμῶς,τόν κόσμον κατέλιπες,καί τά ἐν κόσμῳ τερπνά,καί ἤσκησας ἄριστα· ἔπηξας τήν καλύβην,πρό πυλῶν σῶν γονέων· ἔθραυσας τῶν δαιμόνων,τάς ἐνέδρας παμμάκαρ· διό σε 'Ιωάννη Χριστός,ἀξίως ἐδόξασεν.

Δόξα...Καί νῦν...Θεοτοκίον.

Τό ἀπ'αἰῶνος ἀπόκρυφον,καί Ἀγγέλοις ἄγνωστον μυστήριον,διά σοῦ Θεοτόκε,τοῖς ἐπί γῆς πεφανέρωται· Θεός ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος,καί Σταυρόν ἑκουσίως ὑπέρ ἡμῶν καταδεξάμενος· δι'οὗ ἀναστήσας τόν Πρωτόπλαστον,ἔσωσεν ἐκ θανάτου τάς ψυχάς ἡμῶν.

Καί 'Απόλυσις.

www.texteliturgice.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α΄Στιχολογίαν, Κάθισμα.

Ἦχος πλ. δ΄. Τήν Σοφίαν καί Λόγον.

Τούς ἀγῶνας καί πόνους τούς σούς σοφέ,νοερῶς θεωροῦντες πάντες πιστοί,πάσης κατανύξεως,τάς ψυχάς νῦν πληρούμεθα· καί πρός θείους ὕμνους,καί δόξαν καί αἴνεσιν,τοῦ Δεσπότου τῶν ὅλων,πανεύφημε Ἅγιε,πόθῳ ἐγκαρδίῳ,ἑαυτούς συγκινοῦμεν,ᾠδαῖς εὐφημοῦντές σε,καί πιστῶς ἐκβοῶντές σοι,Ἰωάννη πανένδοξε· Πρέσβευε Χριστῷ τῷ Θεῷ,τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι,τοῖς ἑορτάζουσι πόθῳ,τήν ἁγίαν μνήμην σου.

Δόξα...Τό αὐτό. Καί νῦν...Θεοτοκίον.

Τήν Σοφίαν καί Λόγον ἐν σῇ γαστρί,συλλαβοῦσα ἀφλέκτως Μήτηρ Θεοῦ,ἀφράστως ἀπεκύησας,τόν τά πάντα ποιήσαντα· καί ἐν ἀγκάλαις ἔσχες,τόν πάντα κατέχοντα· καί ἐκ μαζῶν ἐθήλασας,τόν κόσμον ἐκτρέφοντα· ὅθεν δυσωπῶ σε,Παναγία Παρθένε, ῥυσθῆναι πταισμάτων μου,ὅταν μέλλω παρίστασθαι,πρό προσώπου τοῦ Κτίστου μου.Δέσποινα Παρθένε Ἁγνή,τήν σήν βοήθειαν τότε παράσχου μοι· καί γάρ δύνασαι,ὅσα θέλεις Πανάχραντε.

Μετά τήν β΄Στιχολογίαν, Κάθισμα.

Ἦχος γ΄. Τήν ὡραιότητα.

Τήν ματαιότητα,κόσμου κατέλιπες,ἀνταλλαξάμενος,πλούτου τοῦ ῥέοντος,τόν ἀδιάῤῥευστον σαφῶς,καί μένοντα Ἰωάννη· ὅθεν μετά πάντων σε,τῶν Ἁγίων δοξάζομεν,καί πανηγυρίζομεν, εὐλαβῶς ἐν τῇ μνήμῃ σου, αἰτούμενοι εὑρεῖν ταῖς εὐχαῖς σου, Πάτερ τό μέγα ἔλεος.

Δόξα...Τό αὐτό. Καί νῦν...Θεοτοκίον.

Ἀκατανόητον,καί ἀκατάληπτον,ὑπάρχει Δέσποινα,Θεοχαρίτωτε,τό πεπραγμένον ἐπί σοί,φρικτόν μέγα μυστήριον· τόν γάρ ἀπερίληπτον,συλλαβοῦσα ἐκύησας,σάρκα περιθέμενον,ἐξ ἀχράντων αἱμάτων σου· Ὅν πάντοτε Ἁγνή ἐκδυσώπει,τοῦ σῶσαι τάς ψυχάς ἡμῶν.

www.tezaurliturgic.ro

Μετά τόν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ΄. Τό προσταχθέν μυστικῶς.

Τόν οὐρανώσαντα τήν γῆν ἐνθέοις ἔργοις,καί ὑποδείξαντα ἡμῖν Θεοῦ τήν τρίβον,τόν ἰσάγγελον λέγω θεῖον Ἰωάννην, τόν λάμψαντα ἐν ἀσκήσει ὑπερφυῶς,καί δείξαντα τοῖς ἀνθρώποις νέαν ὁδόν,τοῦτον πάντες αἰνέσωμεν, τόν δοξασθέντα ἐκ Θεοῦ,καί τόν Θεόν δοξάσαντα,ἐν πολλοῖς ἀγωνίσμασιν.

Δόξα...Καί νῦν...Θεοτοκίον.Ὅμοιον.

Τό προσταχθέν μυστικῶς λαβών ἐν γνώσει, ἐν τῇ σκηνῇ τοῦ Ἰωσήφ σπουδῇ ἐπέστη,ὁ Ἀσώματος λέγων τῇ Ἀπειρογάμῳ· Ὁ κλίνας τῇ καταβάσει τούς οὐρανούς,χωρεῖται ἀναλλοιώτως ὅλος ἐν σοί· Ὅν καί βλέπων ἐν μήτρᾳ σου, λαβόντα δούλου μορφήν,ἐξίσταμαι κραυγάζων σοι· Χαῖρε,Νύμφη Ἀνύμφευτε.

Οἱ Ἀναβαθμοί,τό α΄Ἀντίφωνον τοῦ δ΄Ἤχου.

Προκείμενον. Ἦχος δ΄.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ...

Πᾶσα πνοή...

Εὐαγγέλιον ὁσιακόν.

Ἐκ τοῦ κατά Ματθαῖον. ( Κεφ. ια΄. Στίχ. 27-30 ).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη...

Μετά τόν Ν΄Ψαλμόν.

Δόξα...Ταῖς τοῦ σοῦ Ὁσίου...

Καί νῦν...Ταῖς τῆς Θεοτόκου...

Στίχ.Ἐλέησόν με ὁ Θεός,κατά τό μέγα ἔλεός σου...

Εἶτα τό Ἰδιόμελον.

Ἦχος πλ. β΄.

Ἰωάννη θεοφόρε μακάριε,ἡ δόξα τῶν Ὁσίων,τό κλέος τῶν Πατέρων,ταῖς πρεσβείαις σου σῷζε ἡμᾶς,ἐκ παντοίων κινδύνων καί θλίψεων,ὅτι σοῦ ἐσμέν ποίμνιον.

Ὁ Ἱερεύς· Σῶσον ὁ Θεός τόν λαόν σου...

Ὁ Χορός· Κύριε,ἐλέησον. ιβ΄.

Ὁ Ἱερεύς· Ἐλέει καί οἰκτιρμοῖς καί φιλανθρωπίᾳ...

Ὁ Χορός· Ἀμήν.

www.tezaurliturgic.ro

Οἱ Κανόνες,ὁ Κανών τῆς Θεοτόκου καί τοῦ ῾Αγίου.

῾Ο Κανών τοῦ ῾Αγίου,οὗ ἡ ᾿Ακροστιχίς·

Πτωχ(ὴν πα)θῶν με δεῖξον εὐχαῖς σου μάκαρ.᾿Ιωσήφ.

᾿Ωδή α΄. ῏Ηχος β΄. ᾿Εν βυθῷ κατέστρωσέ ποτε.

Πλουτισθείς ταῖς θείαις ἀρεταῖς,πλούτου κατεφρόνησας, τοῦ ἐπί γῆς καί οὐρανίου ἔτυχες· διό με πτωχεύσαντα,θείας γνώσεως,καταπλούτισον χάριτι,ὅπως σου ὑμνήσω,Πάτερ πολιτείαν τήν ἰσάγγελον.

Τόν ζυγόν Κυρίου τόν χρηστόν,μάκαρ ἐκ νεότητος,σύ ὑπελθών ἀσκητικοῖς παλαίσμασιν,ἐχθρόν ἐταπείνωσας,τήν ταπείνωσιν,τοῦ Χριστοῦ ὁπλισάμενος,δι᾿ἧς ἀνυψώθης,ὕψος ᾿Ιωάννη πρός οὐράνιον.

῾Ως ὁδεύσας τρίβον τήν στενήν,θλίψεσι καί δάκρυσι , καί στεναγμοῖς καί κακουχίαις ῞Οσιε,πρός εὐρυχωρότατον , πλάτος ἔφθασας,εὑρηκώς τό κατάλυμα,ἄξιον τῶν πόνων,Πάτερ ᾿Ιωάννη ἀξιάγαστε.

Θεοτοκίον.

Χαλεπαῖς παθῶν ἐπιβουλαῖς,Κόρη χειμαζόμενος,καί προσβολαῖς ἁμαρτιῶν κλονούμενος,σοῦ πρός τήν ἀκοίμητον, καί ἀήττητον,προστασίαν Πανύμνητε,πόθῳ καταφεύγω· οἴκτειρόν με σῶσον ᾿Αειπάρθενε.

Καταβασία. Χέρσον ἀβυσσοτόκον...

᾿Ωδή γ΄. ᾿Εξήνθησεν ἡ ἔρημος.

Θυμίαμα πανεύοσμον,τῷ Κυρίῳ ῞Οσιε,τάς σάς εὐχάς προσήγαγες,ἅς ὠσφράνθη καί προσεδέξατο,᾿Ασκητῶν ὁμηγύρει κατατάξας σε.

῾Ωράθης θαῦμα μέγιστον,τάς καρδίας ῞Οσιε,τῶν εὐσεβῶν ἐκπλῆττον,πῶς πυλῶσι προσεκαρτέρησας,γεννητόρων πτωχεύων καί θλιβόμενος.

Νομίμως ταῖς δεήσεσι,καί νηστείαις ῞Οσιε,προσκαρτερῶν ἀπάθειαν,ἐστολίσω σαρκός φρονήματα,ταπεινώσας ἰσχύϊ Θείου Πνεύματος.

Θεοτοκίον.

Μυρίπνοον ὡς ῥόδον σε,ἐκ κοιλάδων Ἄχραντε,ὁ καθαρός ἐξεύρατο,καί ἐν μέσῳ σου κατεσκήνωσεν,εὐωδίας πληρώσας τό ἀνθρώπινον.

Καταβασία. Τό στερέωμα...

Κάθισμα.

Ἦχος α΄. Τόν τάφον σου Σωτήρ.

Τοῦ κόσμου τά τερπνά,ἐκ καρδίας μισήσας,καί μόνον τόν Θεόν,ἐκ ψυχῆς ἀγαπήσας,τήν ἄσκευον καλύβην σου,εὔσημόν τε ἀπέδειξας,οὐρανίαις δέ,ταῖς θεωρίαις σχολάζων,ὤφθης ἄγγελος, μετά σαρκός βιοτεύων· διό σε γεραίρομεν.

Δόξα...Ἦχος γ΄. Τήν ὡραιότητα.

Πλοῦτον ἐπίκηρον,καί δόξαν ῥέουσαν,λιπών οὐράνιον,ὄλβον ἀπείληφας,καί κλέος Πάτερ ἀληθῶς,αἰωνίζον μακάριε· ὅθεν μακαρίζομεν,τήν ἁγίαν σου κοίμησιν,καί πανηγυρίζοντες, ἐν αὐτῇ ἐκβοῶμέν σοι· Πρός Κύριον μνημόνευε ἡμῶν,ὡς ἔχων Ἰωάννη παρρησίαν.

Καί νῦν...Θεοτοκίον.Ὅμοιον.

Ὡς ἀγεώργητος,Παρθένε ἄμπελος,τόν ὡραιότατον,βότρυν ἐβλάστησας,ἀναπηγάζοντα ἡμῖν,τόν οἶνον τόν σωτήριον,πάντων τόν εὐφραίνοντα,τάς ψυχάς καί τά σώματα· ὅθεν ὡς αἰτίαν σε, τῶν καλῶν μακαρίζοντες,ἀεί σύν τῷ Ἀγγέλῳ βοῶμέν σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Ὠδή δ΄. Ἐλήλυθας,ἐκ Παρθένου.

Ἐν ῥάκεσι,πενιχροῖς θησαυρός ἐγκρυπτόμενος,ὡράθης θεόπνευστε· θείαν στολήν γάρ ἠγάπησας,καί ἀμφιασάμενος, εἰς τόν νυμφῶνα τόν ἄνω εἰσελήλυθας.

Δεξάμενος,τόν οὐράνιον σπόρον θεόπνευστε,καρδίας ταῖς αὔλαξι,στάχυν τερπνόν ἐγεώργησας,τόν νοῦν διατρέφοντα,τῶν ὑμνητῶν σου ὁσίως μιμουμένων σε.

www.tezaurliturgic.ro

'Επέμενες, στενωτάτη καλύβη θεσπέσιε, πτωχός ἄλλος Λάζαρος, ἐθελουσίως γενόμενος· ὅθεν ἀναπέπαυσαι, τοῦ 'Αβραάμ νῦν ἐν κόλποις Πάτερ ὅσιε.

Θεοτοκίον.

"Ιθυνόν μου, τῆς ψυχῆς τάς κινήσεις Πανάμωμε, πρός θεῖα προστάγματα, τοῦ ἐκ γαστρός σου ἐκλάμψαντος, ζάλης λυτρουμένη με, τῶν ἐν τῷ βίῳ σκανδάλων μεσιτείαις σου.

Καταβασία. 'Εκάλυψεν οὐρανούς...

'Ωδή ε΄. 'Ο φωτισμός.

Ξένος τῆς γῆς, τῶν ἡδέων ἐγένου, ξένος οἰκείων, ξένος γεννητόρων οἰκείᾳ γνώμῃ, καί ἐγκρατείᾳ σεαυτόν ἐκκαθάρας, ᾠκειώθης τῷ Παντοκράτορι, Πάτερ 'Ιωάννη, πτωχεύσας τῷ πνεύματι.

Οἶκον σαυτόν, τῆς 'Αγίας Τριάδος, ἀποτελέσας, ἔστερξας στενούμενος τῇ καλύβῃ, θείαις μελέταις τήν ψυχήν ἐκκαθαίρων, καί τό κάλλος Θεοῦ τό ἄρρητον, Πάτερ 'Ιωάννη, ἀεί φανταζόμενος.

Νόμου Θεοῦ, πληρωτής ἀνεδείχθης, μηδέν προκρίνας, τούτου τῆς ἀγάπης θεόφρον Πάτερ· οὐκ ἀδελφῶν γάρ, οὐ γονέων σε φίλτρον, οὐδέ πλοῦτος οὐδέ ἀξίωμα, οὐδέ τῆς σαρκός ἡδονή κατεχαύνωσεν.

Θεοτοκίον.

'Εμμανουήλ, τῶν ἁπάντων Δεσπότην, τίκτεις ἀφθόρως, μείνασα παρθένος καί μετά τόκον, Παρθενομῆτορ· "Ον ἀπαύστως δυσώπει, ἐπηρείας ἐχθρῶν λυτρώσασθαι, τούς ὑπό τήν σκέπην, τήν σήν καταφεύγοντας.

Καταβασία. 'Ως εἶδεν 'Ησαΐας...

www.tezaurliturgic.ro

'Ωδή ς΄. 'Εν ἀβύσσῳ πταισμάτων.

'Υπερήφανον ὄφιν κατέβαλες,ταπεινοφροσύνης τοῖς ὅπλοις μακάριε,καί ὑψωθείς ἐν πνεύματι,εἰς σκηνάς ἀειζώους ἐσκήνωσας.

Χαρισμάτων ἐπλήσθης τοῦ Πνεύματος,καί τῆς πονηρίας ὑπέταξας πνεύματα,ὡς νουνεχής καί φρόνιμος,καί Θεῷ ὁλικῶς ἀνακείμενος.

'Απαθείας ἐμπρέπων ὑψώμασι,Πάτερ 'Ιωάννη καλύβῃ στενούμενος,καί πειρασμοῖς βαλλόμενος,ἐκαρτέρεις θεόθεν νευρούμενος.

Θεοτοκίον.

'Ισουργόν τῷ Τεκόντι καί σύνθρονον,Λόγον ἐκ γαστρός σου 'Αγνή ἐσωμάτωσας,δι'εὐσπλαγχνίαν ἄφατον,τό ἡμέτερον ὅλον φορέσαντα.

Καταβασία. 'Εβόησέ σοι...

Κοντάκιον.

Ἦχος πλ.δ΄. Τῇ ὑπερμάχῳ.

Τόν ἐν ἀσκήσει ὑπέρ ἄνθρωπον βιώσαντα,καί νέαν τρίβον τῆς ἀσκήσεως ὡδεύσαντα,εὐφημήσωμεν ἐν ᾄσμασιν 'Ιωάννην,τόν πατήσαντα ἐχθροῦ τά μηχανήματα,καί δοξάσαντα Θεόν τόν ἡμᾶς σώζοντα,τούτῳ κράζοντες· Χαίροις,Πάτερ θεόσοφε.

'Ο Οἶκος.

Ἄγγελος ἐν ἀνθρώποις,καί βροτός ἐν 'Αγγέλοις, ὡράθης 'Ιωάννη ἐν βίῳ· (ἐκ γ΄.) καί γάρ ἡ ξένη σου βιοτή, προτρέπει τούς εὐθύφρονας μάκάριε,σύν πᾶσι τοῖς 'Αγγέλοις τε , βοᾶν σοι μεθ'ἡμῶν τοιαῦτα·

Χαῖρε,ὁ χάριτος θείας πλήρης· χαῖρε,ὁ Πνεύματος πεπλησμένος.
Χαῖρε,εὐσεβῶν γεννητόρων ὁ ἔξοχος· χαῖρε,ἀσκητῶν καί ὁσίων ὁ μέγιστος.
Χαῖρε,ὅτι τρίβον ὥδευσας τήν εὐθεῖαν πρός Θεόν·
χαῖρε,ὅτι βίον ἔζησας λίαν τόν ὀδυνηρόν.

www.tezaurliturgic.ro

Χαῖρε,ὁ ἁγιάσας σεαυτόν θείοις ἔργοις· χαῖρε,ὁ πλησιάσας τῷ Θεῷ τῇ ἀσκήσει.
Χαῖρε,Χριστοῦ τό θεῖον εἰκόνισμα· χαῖρε,ἡμῶν τό μέγα θησαύρισμα.
Χαῖρε,δι'οὗ ὁ Θεός ἐδοξάσθη· χαῖρε,δι'οὗ ὁ ἐχθρός κατῃσχύνθη.

Χαίροις,Πάτερ θεόσοφε.

Σ υ ν α ξ ά ρ ι ο ν .

Τό Συναξάριον τοῦ Μηναίου (ΙΕ΄'Ιανουαρίου) καί τό·
Τῇ αὐτῇ ἡμέρᾳ,Μνήμη τοῦ 'Οσίου Πατρός ἡμῶν 'Ιωάννου,τοῦ διά Χριστόν πτωχοῦ, ὅς καί Καλυβίτης ὠνομάσθη.

Στίχοι.

'Αρνησίκοσμος παῖς λιπών γῆς καλύβην,
'Εν οὐρανοῖς ἔπηξε καινήν καλύβην.
Πέμπτῃ 'Ιωάννης δεκάτῃ καλύβην μετέπηξεν.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις,ὁ Θεός ἐλέησον ἡμᾶς.'Αμήν.

'Ωδή ζ΄. 'Αντίθεον πρόσταγμα.

Στενήν προετίμησας,τῆς εὐρυχώρου,ὁδοῦ ἀξιάγαστε,καί χαίρων ἐκαρτέρησας,πυλῶσι γονέων σου ὀνειδιζόμενος,καί κατατρυχόμενος πολλαῖς,ἐν ἀσθενείαις θεομακάριστε.

Σαυτόν κατεκάλλυνας,ὡραιοτάταις,σοφέ ἀναβάσεσι,σαρκός νεκρώσας φρόνημα· διό προσεχώρησας πρός τά οὐράνια, δήμοις ἀριθμούμενος ἀεί,σεπτῶν Πατέρων ἀξιοθαύμαστε.

'Οδούς πορευόμενος,τάς εἰσαγούσας,πρός θείαν κατάπαυσιν,ἐξέκλινας τά βάραθρα,δαιμόνων μακάριε,θείᾳ σκεπόμενος, χάριτι κραυγάζων τε· 'Ο ὤν,εὐλογημένος καί ὑπερένδοξος.

Θεοτοκίον.

'Υμνοῦμεν τόν τόκον σου,Εὐλογημένη,δι'οὗ ἐλυτρώθημεν, τῆς πάλαι κατακρίσεως,καί σέ μακαρίζομεν,Θεομακάριστε,μόνην ἥν ἠγάπησεν ὁ ὤν,εὐλογημένος καί ὑπερένδοξος.

Καταβασία. Σέ τόν ἐν πυρί δροσίσαντα...

www.tezaurliturgic.ro


'Ωδή η΄. Τόν ἐν καμίνῳ τοῦ πυρός.

Μή παλαιούμενον σαυτῷ, 'Ιωάννη ἀρεταῖς πεποικιλμένον, ἐξυφαίνων χιτῶνα, περιβολήν πενιχράν, ἐν εἴδει πτωχοῦ σύ ἐνδέδυσαι, τοῖς τῶν γεννητόρων, προσκαρτερῶν πυλῶσιν.

"Αμεμπτος ἄλλος ὡς 'Ιώβ, πρό θυρῶν κακοπαθεῖς ὡς ἐν κοπρίᾳ, ὑποφέρων ὀνείδη, τῶν οἰκετῶν σου σοφέ, λιμῷ τε καί δίψει πιεζόμενος· ὅθεν ἐκληρώσω, τήν ἄνω βασιλείαν.

Κατηκολούθησας σαφῶς, ᾧ περ εἴληφας χερσίν Εὐαγγελίῳ· καί ἐπτώχευσας μάκαρ, πενθῶν ἐν ὅλῃ ζωῇ· καί πρᾶος γέγονας καί ἄκακος, καί τῆς βασιλείας, τῆς ἄνω κληρονόμος.

"Αλλος ἐδείχθης 'Αβραάμ, τήν Τριάδα ξεναγῶν τῇ σῇ καλύβῃ, ἀναβάσεσι θείαις, καί λογισμοῖς καθαροῖς, καί ἄκρᾳ πτωχείᾳ μακάριε, ταύτην θεραπεύων, εἰς πάντας τούς αἰῶνας.

Θεοτοκίον.

'Ρεῖθρον ἀέναον ἡμῖν, τοῖς προστρέχουσιν εἰς σέ 'Αγνή πηγάζεις· οὗ τήν ἄφθονον χάριν, ἀπαρυόμενοι σοῦ, ὑμνοῦμεν τόν τόκον Πανάχραντε, καί ὑπερυψοῦμεν, εἰς πάντας τούς αἰῶνας.

Καταβασία. 'Αστέκτῳ πυρί ἑνωθέντες...

'Ωδή θ΄. 'Ανάρχου Γεννήτορος.

'Ισχύς μου καί ὕμνησις, ὁ Κύριος ἐκραύγαζες· τόν προστάτην τοῦ σκότους, ἐν τούτῳ τρέπομαι· τάς φαντασιώδεις ἀπάτας, τάς παρ' αὐτοῦ, οὐδόλως πτοοῦμαι, μόνον φανταζόμενος, κάλλος θεῖον καί ἀπρόσιτον.

'Ως γῆ πίων "Οσιε, ἡ σή καρδία δέδεκται, τόν οὐράνιον σπόρον, νοός ταῖς αὔλαξι, καί ἑκατοστεύοντα στάχυν, καρποφορεῖ, ἐκτρέφοντα πάντων, πιστῶς τῶν τιμώντων σε, τάς ψυχάς θεομακάριστε.

Συνών τῷ Δεσπότῃ σου, καί ταῖς ἐκεῖθεν "Οσιε, φανοτάταις λαμπάσι, καταυγαζόμενος, θεῖον φωτισμόν τοῖς ἐν πίστει, τήν φωταυγῆ, τελοῦσί σου μνήμην, δοθῆναι ἱκέτευε, 'Ιωάννη ἀξιάγαστε.

www.tezaurliturgic.ro

῾Ηγίασε Κύριος,ἐκ μήτρας σε μακάριε,πρός αὐτόν τε πορείας,τάς σάς κατεύθυνεν· ὅθεν ἠριθμήθης ῾Οσίοις,τοῖς εὐσεβῶς,πεπολιτευμένοις· μεθ᾽ὧν τῆς θεώσεως,ἀπολαύεις πανοίδιμε.

Θεοτοκίον.

Φωτός οἰκητήριον,ἡ μήτρα σου γεγένηται,δι᾽οὗ φῶς οἱ ἐν σκότει,εἶδον καθήμενοι· ὅθεν σε φωναῖς ἀσιγήτοις,Μήτηρ Θεοῦ,ἀεί ἀνυμνοῦμεν,καί πόθῳ γεραίρομεν,τήν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Καταβασία. Θεοτόκε ἡ ἐλπίς...᾽Εν νόμου σκιᾷ.

᾽Εξαποστειλάρια.
Γυναῖκες ἀκουτίσθητε.

Πτωχός ὡς ἄλλος Λάζαρος,προσεκαρτέρεις ῞Οσιε,τῶν γεννητόρων πυλῶσι,στενοχωρούμενος Πάτερ,μικρᾷ καλύβῃ πάνσοφε· ἀλλ᾽εὗρες νῦν εὐρύχωρον,τήν μετ᾽᾽Αγγέλων σκήνωσιν,καί τῶν ῾Αγίων ἁπάντων,ἐν οὐρανοῖς ᾽Ιωάννη.

῞Ετερον. ῞Ομοιον.

Γονέων τήν προσπάθειαν,λιπών καί πλοῦτον ῥέοντα, τόν σόν σταυρόν ἦρας Πάτερ,καί τῷ Χριστῷ ᾽Ιωάννη,προθύμως ἠκολούθησας· ἀσκητικῶς νεκρώσας δέ,τά πάθη πρός ἀπάθειαν,ἀνέδραμες καί πρεσβεύεις,ὑπέρ ἡμῶν θεοφόρε.

Θεοτοκίον. ῞Ομοιον.

Βουλῆς μεγάλης ῎Αγγελον,τῆς τοῦ Πατρός γεγέννηκας , Χριστόν Πανύμνητε Κόρη,τόν Βασιλέα τῆς δόξης· οὗ τόν Σταυρόν οἱ῞Οσιοι,καί ᾽Ασκηταί ἀράμενοι,ὀπίσω τούτου ἔδραμον· μεθ᾽ὧν ἀπαύστως δυσώπει,ὑπέρ ἡμῶν Θεοτόκε.

Εἰς τούς Αἴνους.
῾Ιστῶμεν Στίχους δ´καί ψάλλομεν Στιχηρά Προσόμοια.
῏Ηχος πλ. δ´. ῏Ω τοῦ παραδόξου θαύματος!

Πάτερ ᾽Ιωάννη ῞Οσιε,σύ ἀπό βρέφους Χριστῷ,τῷ Θεῷ ἠκολούθησας,μή προσχών τό σύνολον,γεννητόρων εὐγένειαν,Πατρίδος κάλλος,σαρκός εὐπάθειαν,καί ἡλικίας,μάκαρ τό ἄωρον,ἔ-

χων ἐν κόλποις σου,ἀεί φυλακτήριον,τό τοῦ Χριστοῦ,θεῖον Εὐαγγέλιον,αὐτῷ προσήλωσαι.

Πάτερ 'Ιωάννη "Οσιε,ἀνακαθάρας τόν νοῦν,τῇ μελέτῃ τῇ κρείττονι,τῷ Θεῷ προσήγγισας, καί αὐτῷ εὐηρέστησας, ἔν τε νηστείᾳ,καί μετριότητι,εὐχῇ τε στάσει,καί τῇ γυμνότητι,νηφαλιότητι,καί δακρύων χύσεσι,καί τῇ πολλῇ,μάκαρ καθαρότητι,τῆς διανοίας σου.

Πάτερ 'Ιωάννη "Οσιε,προκατιδών νοερῶς,σοῦ τήν ἔξοδον εἴρηκας,τῇ καλῶς τεκούσῃ σε,καί σαυτόν ἐφανέρωσας,διά τοῦ θείου,Εὐαγγελίου σου,ὅ εἶχες φίλτρον,καί κτῆμα ἴδιον·ὅθεν ἀπέδωκας,σοῦ τό πνεῦμα "Οσιε,πρός τόν Θεόν,χαίρων τῇ ἐφέσει σου,καί ἀγαλλόμενος.

Πάτερ 'Ιωάννη "Οσιε,ὑπέρ ἡμῶν πρός Θεόν, οὐ μή παύσῃ δεόμενος,τῶν πιστῶς τιμώντων σου,τήν ἁγίαν μετάστασιν,καί σοῦ ἐχόντων,μέγα τεκμήριον,τό ἱερόν τε,νῦν Εὐαγγέλιον,καί τήν Εἰκόνα σου,θησαυρόν ὡς ἄσυλον,πολυτελῆ,καί ὡς παραμύθιον,ἐν πάσαις θλίψεσιν.

Δόξα...Ἦχος πλ. δ΄.

Τῶν ἀσκητικῶν ἀγώνων σου τό ὕψος,τίς ἐξιχνιάσαι σου ἰσχύσει,'Ιωάννη Πάτερ "Οσιε; σύ γάρ νέος ὤν τῷ σώματι,νέον εὗρες τρόπον τῆς ἀσκήσεως,ξένον τε καί ἀσυνήθη·ὅθεν ἐν βραχεῖ τελειωθείς,χρόνους τούς μακρούς ἐπλήρωσας,κατά τόν προφήτην λέγω Σολομῶντα· τριετῆ γάρ ὑπηνεγκών ὀδύνην,ἐσαββάτισας ἐν οὐρανοῖς,μετά πάντων τῶν 'Αγίων,μεθ'ὧν πρέσβευε ὑπέρ ἡμῶν,Πάτερ ἁγιώτατε.

Καί νῦν...Θεοτοκίον.

Δέσποινα πρόσδεξαι,τάς δεήσεις τῶν δούλων σου,καί λύτρωσαι ἡμᾶς,ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Δοξολογία μεγάλη καί 'Απόλυσις.

www.tezaurliturgic.ro

Τυπικά καί έκ τοῦ Κανόνος τοῦ 'Αγίου, 'Ωδή γ΄καί ς΄.

Προκείμενον.

Ἦχος βαρύς. ( Ψαλμός ρμθ΄).

Καυχήσονται Ὅσιοι ἐν δόξῃ.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Ὁ 'Απόστολος.

Πρός Γαλάτας 'Επιστολῆς Παύλου τό 'Ανάγνωσμα.
( Κεφ. ε΄. Στίχ. 22 - ς΄ 2 ).

'Αδελφοί,ὁ καρπός τοῦ Πνεύματος ἐστιν ἀγάπη...

'Αλληλούϊα. Ἦχος α΄. ( Ψαλμός ρια΄).

Στίχ. Μακάριος ἀνήρ,ὁ φοβούμενος τόν Κύριον.
'Η δικαιοσύνη αὐτοῦ μένει εἰς τόν αἰῶνα.

Τό Εὐαγγέλιον.

'Εκ τοῦ κατά Λουκᾶν.
( Κεφ. ς΄. Στίχ. 17 - 23 ).

Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ 'Ιησοῦς ἐπί τόπου πεδινοῦ...

Μεγαλυνάρια.

Βίον νέον ζήσας ὀδυνηρόν,τούτοις τε ἀρχαίοις,ἀπαράμιλλον ἀσκηταῖς,μέγιστος ἐφάνης,ἐκπλήττων διανοίας,σῷ βίῳ εἰς αἰῶνας,μείνας ὑπόδειγμα.

Σῷ θανάτῳ Πάτερ ὅν ὁ Χριστός,προεῖπε κατ'ὄναρ,πλεῖστα θαύματα τῷ λαῷ,ἐτέλεις καί ἰάσεις,ὅτι τῇ σῇ κοιμήσει,χωλοί περιεπάτουν,τυφλοί ἀνέβλεπον.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον...

